Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ephesini Concilii Generalis Pars I. Et II. Sub Cælestino papa I. anno CCCCXXXI.

**Parisiis, 1644**

Mandatu[m] quod ab orientalibus datum fuit episcopis, qui ab ipsis Constantinopolim missi sunt, vt disceptarent in iudicio aduersus episcopos orthodoxos, ab oecumenica Synodo ad eamdem vrbem missos.

urn:nbn:de:hbz:466:1-15062

Visual Library

ANNO CHRISTI 431.

*Ἴσον ἐντολῆς.

* Ἐντολὴ παραχθεῖσα παρὰ τῶν ἀνατολικῶν τοῖς ἀποσταλεῖσι παρ' αὐτῶν ἐν Κωνσταντινουπόλει ἐπισκόποις· ὥστε δικάσασθαι μετὰ τῶν ἀποσταλέντων παρὰ τῆς οἰκουμενικῆς συνόδου ὀρθοδόξων ἐπισκόπων ἐν τῇ αὐτῇ Κωνσταντινουπόλει.

Ἡ ἁγία σύνοδος ἡ ἐν Ἐφέσῳ συγκροτηθεῖσα τοῖς θεοφιλεστάτοις καὶ ὁσιωτάτοις, Ἰωάννῃ ἀρχιεπισκόπῳ Ἀντιοχέων μεγαλοπόλεως, καὶ Ἰωάννῃ τῆς Δαμασκηνῶν ἐπισκόπῳ μητροπόλεως, καὶ Ἱμερίῳ ἐπισκόπῳ τῆς Νικομηδέων μητροπόλεως, καὶ Παύλῳ ἐπισκόπῳ Ἐμισηνῶν, ποιουμένῳ τὸν λόγον καὶ ὑπὲρ τοῦ ἁγιωτάτου ἐπισκόπου Ἀκακίου τῆς Βεῤῥοίας, καὶ Μακαρίῳ ἐπισκόπῳ τῆς Λαοδικέων πόλεως, ποιουμένῳ τὸν λόγον καὶ ὑπὲρ τοῦ ὁσιωτάτου Κύρου ἐπισκόπου τῆς Τυρίων πόλεως, καὶ Ἀπριγγίῳ ἐπισκόπῳ τῆς Χαλκιδέων, ποιουμένῳ τὸν λόγον καὶ ὑπὲρ Ἀλεξάνδρου ἐπισκόπου τῆς Ἀπαμείας, καὶ Θεοδωρήτῳ ἐπισκόπῳ τῆς Κυρεστῶν πόλεως, ποιουμένῳ τὸν λόγον καὶ ὑπὲρ Ἀλεξάνδρου ἐπισκόπου τῆς Ἱεραπολιτῶν μητροπόλεως, καὶ Ἑλλαδίῳ ἐπισκόπῳ Πτολεμαΐδος, παρόντες παροῦσιν ἐνετειλάμεθα τὰ ὑποτεταγμένα.

* Exemplum mandati.

*Mandatū quod ab orientalibus datum fuit episcopis, qui ab ipsis Constantinopolim missi sunt, vt disceptarent in iudicio aduersus episcopos orthodoxos, ab œcumenica Synodo ad eamdem vrbem missos.

*Sancta synodus Ephesi congregata piissimis sanctissimisque Ioanni Antiochenorum magnæ ciuitatis archiepiscopo, & Ioanni Damascenorum episcopo metropolitano, & Himerio episcopo Nicomediæ metropolitano, & Paulo Emisenorum episcopo, qui idem Acacii sanctissimi Beroensium episcopi personam gerit, & Macario Laodicensium ciuitatis episcopo, qui etiam pro Cyro sanctissimo Tyriorum ciuitatis episcopo verba facturus est; & Apringio Chalcidensium episcopo, qui & locum Alexandri Apameæ episcopi obtinet; & Theodoreto Cyrestanorum episcopo, verba pro Alexandro etiam Hierapolitanorum episcopo metropolitano facturo, & Helladio Ptolemaidis episcopo, præsentes præsentibus, quæ subiecta sunt, mandauimus.*

ΕΠΕΙΔΗ τῆς ἐκκλησιαστικῆς ἕνεκα ὑποθέσεως, δι' ἣν ἅπαντες ἐκλήθημεν εἰς τὴν Ἐφεσίων * τῶν παρόντες, καὶ ἡ ὑμετέρα θεοσέβεια, κατὰ θέσπισμα τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων ἐπὶ τὴν μεγαλώνυμον ἐκλήθημεν Κωνσταντινούπολιν, ὑπὲρ τοῦ συναγωνίσασθαι τῇ ἀληθείᾳ καὶ τῇ πίστει τῶν ἁγίων πατέρων, καὶ τοῖς δόγμασι τοῖς ὀρθοῖς· οὐ προσετάχθημεν δὲ ἅπαντες παρεῖναι ὑμῖν· ἔδει δὲ καὶ τὴν γνώμην

* ἐπὶ τὸ παρόντες,

QVANDOQVIDEM ecclesiasticæ controuersiæ causa (propter quam in Ephesiorum vrbem præsentes omnes, & vestra quoque pietas vocata est) piissimorum imperatorum nostrorum sanctione ad celeberrimam Constantinopolitanam vrbem euocati sumus, vt veritati, sanctorumque patrum fidei, & rectis dogmatibus patrocinemur; neque tamen omnes vobiscum adesse iussi sumus: operæ precium autem

Anno Christi 431.

eſt, omnium noſtrum mentem patefieri; qualiter nimirum rata habemus omnia, & illis aſſentimur, quæ a vobis gerentur, ſi ad Dei timorem, & eccleſiaſticam pacem ac diſciplinam conferant: propterea hunc mandati libellum vobis conſcripſimus, quo mandamus & committimus, plenamq; poteſtatem contradimus, quam præſentes haberemus; ita vt poſteaquam Dei gratia comitante in magnam illam ciuitatem perueneritis, ſiue coram pientiſſimo imperatore, ſiue in conſiſtorio, ſiue coram ſacro ſenatu, ſiue in patrum Synodo, de his quæ in quæſtionem veniunt, ſermo inſtituatur, hunc ea dicendi libertate, eaque prudentia ac diligentia, quæ vobis ineſt, habeatis pro vniuerſa eccleſia; & hunc vos laborem ſuſcipiatis pro nobis, omnibus videlicet nobis ſeruantibus, approbantibus, ac rata ducentibus omnia, quæ vos in hac cauſa vel agitis, vel acturi eſtis. Quod ſi forte euenerit, vt vel conuentionis, vel eccleſiaſticæ pacis, vel cuiuſpiam alterius rei cauſa neceſſario pro nobis omnibus ſubſcriptio requiratur; oramus veſtram ſanctitatem, ne hoc ipſum præſtare grauetur, quod communi vſui eſt profuturum, & ad gloriam Chriſti Domini facit. Rurſum ſi quam ſynodicam epiſtolam huc mittere viſum vobis fuerit, quæ ſubſcriptionem omnium exigat, promittimus omnes communiter, & ſingulos ſeorſum, omni cum alacritate nos ſubſcripturos, & ad ſacrum comitatum miſſuros eſſe: dum illud certum ſit, nempe capita vna cum anathe-

πάντων ἡμῶν κατάδηλον ποιῆσαι, ὡς ἐμμένομεν, καὶ κύρια ἡγούμεθα πάντα τὰ ὑφ' ὑμῶν πραττόμενα, καὶ συντείνοντα εἰς τὸν τοῦ θεοῦ φόβον, καὶ εἰς τὴν ἐκκλησιαστικὴν εἰρήνην τε καὶ εὐταξίαν· τούτου ἕνεκεν τόδε ὑμῖν τὸ ἐντολικὸν πεποιήμεθα, δι' οὗ ἐντελλόμεθα, καὶ ἐπιτρέπομεν, ὁλοτελῆ τε ἐξουσίαν δίδομεν, ἣν περ καὶ παρόντες εἴχομεν· ὥστε σὺν θεῷ παραγινομένοις ὑμᾶς ἐπὶ τῆς προειρημένης μεγαλοπόλεως, εἴτε ἐπὶ τοῦ εὐσεβεστάτου βασιλέως δέοι, εἴτε ἐν κονσιστωρίῳ, εἴτε ἐπὶ τῆς ἱερᾶς συγκλήτου, εἴτε ἐν συνόδῳ πατέρων ὁ λόγος κινοῖτο περὶ τῶν ζητουμένων, τοῦτον μετὰ τῆς προσούσης ὑμῖν παῤῥησίας τε καὶ συνέσεως καὶ ἐμμελείας κινῆσαι ὑπὲρ τοῦ κοινοῦ τῶν ἐκκλησιῶν, καὶ ἀναδέξασθαι τὸν ἀγῶνα τοῦτον ὑπὲρ ἡμῶν, ἁπάντων ἡμῶν δηλαδὴ ἐμμενόντων, καὶ στοιχούντων, καὶ στεργόντων, καὶ κύρια ἡγουμένων πάντα τὰ ὑφ' ὑμῶν πραττόμενα ἕνεκα ταύτης τῆς ὑποθέσεως, ἢ καὶ πραχθησόμενα. εἰ δέ που καὶ χρεία γένοιτο ἢ συμβιβασμοῦ, ἢ εἰρήνης ἐκκλησιαστικῆς, ἢ ἑτέρου τινὸς ἀπαιτοῦντος ὑπογραφὴν ὑπὲρ πάντων ἡμῶν ἕνεκα, καὶ τοῦτο αὐτὸ παρακαλοῦμεν τὴν ὑμετέραν ἁγιωσύνην μὴ ὀκνῆσαι ποιῆσαι ὑπὲρ τοῦ λυσιτελοῦντος τῷ κοινῷ, καὶ ὑπὲρ τῆς δόξης τοῦ δεσπότου Χριστοῦ. εἰ δὲ καὶ συνοδικὸν δόξει ἀποστεῖλαι * παρ' ἡμῶν ἐνταῦθα ἀπαιτοῦντων τὴν ὑπογραφὴν, ὁμολογοῦμεν ἅπαντες κοινῇ, καὶ ἰδίᾳ ἕκαστος τοῦτο καθυπογράφειν μετὰ πάσης προθυμίας, καὶ ἐξαποστέλλειν εἰς τὸ εὐσεβὲς στρατόπεδον· δήλου ἐκείνου τυγχάνοντος, ὡς παντὶ τρόπῳ τῶν κεφαλαίων τῶν αἱρε-

* παρ' ὑμῶν

ANNO CHRISTI 431.

τικῶν, τῶν ὑπὸ Κυρίλλου τοῦ Ἀλεξανδρέως ὑπεισαχθέντων τῇ πίστει τῶν πατέρων τῶν κατὰ Νίκαιαν, μετὰ ἀναθεματισμῶν ἐκβαλλομένων, ὡς ἀλλοτρίων τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας.

Ἀλέξανδρος ἐπίσκοπος μητροπόλεως Ἱεραπόλεως· εἰ κατὰ τὴν ἐκτεθεῖσαν πίστιν ὑπὸ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ διαπράξεσθε, μήτε ἐπεισαγομένου τινὸς τῇ πίστει τῶν ἁγίων πατέρων, καὶ ἐκβαλλομένων τῶν αἱρετικῶν κεφαλαίων Κυρίλλου τοῦ Ἀλεξανδρείας, τούτῳ συγκατατίθεμαι· ταύτῃ γὰρ τῇ ἐκθέσει τῆς πίστεως καὶ ἤδη μετὰ τῆς ἁγίας συνόδου τῆς σὺν ἡμῖν καθυπέγραψα.

*Θεόδωρος ἐπίσκοπος Μαρκιανουπόλεως δευτέρας Μισίας γεγράφηκα ὡσαύτως, ἐντειλάμενος ὡς πρόκειται. συνυπέγραψαν δὲ καὶ οἱ λοιποὶ πάντες.

* Δωρόθεος

matiſmis, quæ a Cyrillo Alexandrino ad fidem patrum qui Nicææ conuenerunt, adiecta ſunt, tamquam hæretica, & a catholica & apoſtolica eccleſia aliena, eſſe modis omnibus reiicienda.

*Mira circa Cyrilli capita rabies. nec enim vllum ſchiſmaticorum extat ſcriptum, in quo illorum non fiat mentio.*

Alexander Hierapolis epiſcopus metropolitanus: Si quid iuxta fidem a ſanctis patribus Nicænis expoſitam feceritis, nulla prorſus re fidei ſanctorum patrum adiecta, hæreticiſque Cyrilli Alexandrini capitibus reiectis; huic equidem aſſentior: nam & huic fidei expoſitioni vna cum ſancta noſtra Synodo iam ſubſcripſi.

Dorotheus epiſcopus Marcianopolis ſecundæ Myſiæ, ſimiliter mandans, ſicut ſupra poſitum eſt, ſubſcripſi. Subſcripſerunt autem & ceteri omnes.

Dato autem hoc mandato, vna quoque tradita fuit charta tenoris huiuſce.

Δοθείσης δὲ τῆς ἐντολῆς, συναπεδόθη καὶ τόμος, περιέχων οὕτως.

## *Prima ſchiſmaticorum petitio ex Calchedone ad imperatorem miſſa.*

ORANDUM erat, ne a quopiam alio in expoſitionibus abſurdis ſermo pietatis adulteraretur, maxime autem, ne ab his qui ſacerdotium præfecturamque eccleſiarum ſortiti ſunt, quos neſcimus quomodo præſidendi cupiditas & ambitio, frigidæque promiſſiones quædam, ad contemnenda ſemel omnia Chriſtiana mandata induxerunt; idque hoc ſolo animo, vt ſeruiant viro, qui præſumit ac ſperat, ſe & auxilium ſibi ferentes, omnia recte geſturos: dicimus Alexandrinum Cyrillum, qui ſola nugacitate in ſanctas Dei eccleſias hæretica introduxit dogmata, eaque confidit ſe argumentis comprobaturum; & correctionem peccatorum effugere, ſolo Memnonis & prædictæ conſpirationis epiſcoporum miniſterio, ſperauit.

*Iniuſte perſtringit Concilii patres.*



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN